**9 ΜΑΡΤΙΟΥ, † Κυριακὴ Α΄ Νηστειῶν,** ***(ΤΗΣ ΟΡΘΟΔΟΞΙΑΣ), «Ἀνάμνησις τῆς ἀναστηλώσεως τῶν ἱερῶν εἰκόνων» (843). † Τῶν ἁγίων τεσσαράκοντα μαρτύρων τῶν ἐν τῇ λίμνῃ τῆς Σεβαστείας μαρτυρησάντων (†320). Ἦχος δ΄. Ἑωθινὸν δ΄. ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ, Μετὰ τὸν Ἑξάψαλμον, , Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις· Ὅτι πρέπει σοι πᾶσα δόξα…Ἦχος δ΄.***

**Ἀμήν. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.**

***Στίχ, α΄.*** Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

***Στίχ, β΄.*** Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς,

***Στίχ, γ΄.*** Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

***Ἦχος δ'.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα… ***Τῶν Ἁγίων. Ἦχος α΄.*** Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι, Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε, δεόμεθα.

Καὶ νῦν… ***Τοῦ Τριῳδίου. Ἦχος β΄.*** Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν Ἀγαθέ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι, χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν κόσμον.

***Ὅτι σὸν τὸ κράτος… ΚΑΘΙΣΜΑΤΑ ΗΧΟΣ Δ΄,Μετὰ τὴν α΄,Στιχολογίαν. ὁ α' χορός, Ἦχος δ'***

**Ἀ**ναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ Ἀγγέλου μὴ φέρουσαι, αἱ Μυροφόροι σὺν τρόμῳ ἐξίσταντο λέγουσαι, Ἆρα ἐκλάπη, ὁ τῷ Λῃστῇ ἀνοίξας Παράδεισον, ἆρα ἠγέρθη, ὁ καὶ πρὸ πάθους κηρύξας τὴν Ἔγερσιν, ἀληθῶς ἀνέστη Χριστὸς ὁ Θεός, τοῖς ἐν ᾅδῃ παρέχων ζωὴν καὶ ἀνάστασιν.

***ὁ β' χορός,* Δόξα Πατρὶ…** ***Κατεπλάγη Ἰωσήφ.*** **Ἑ**κουσίᾳ σου βουλῇ, Σταυρὸν ὑπέμεινας Σωτήρ, καὶ ἐν μνήματι καινῷ, ἄνθρωποι ἔθεντο θνητοί, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον, ὅθεν δεσμευθεὶς ὁ ἀλλότριος, θάνατος δεινῶς ἐσκυλεύετο, καὶ οἱ ἐνᾄδῃ ἅπαντες ἐκραύγαζον, τῇ ζωηφόρῳ Ἐγέρσει σου, Χριστὸς ἀνέστη, ὁ ζωοδότης, μένων εἰς τοὺς αἰῶνας.

***ὁ α' χορός* Καὶ νῦν…**Τὸ ἀπ΄ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διά σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος΄ δι΄ οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

***ὁ β' χορός, Μετὰ τὴν β' Στιχολογίαν, ἕτερα. Ταχὺ προκατάλαβε***

**Ἀ**νέστης ὡς ἀθάνατος, ἀπὸ τοῦ ᾅδου Σωτήρ, συνήγειρας τὸν κόσμον σου, τῇ Ἀναστάσει τῇ σῇ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔθραυσας ἐν ἰσχύϊ, τοῦ θανάτου τὸ κράτος, ἔδειξας Ἐλεῆμον, τὴν Ἀνάστασιν πᾶσι, διὸ σε καὶ δοξάζομεν, μόνε Φιλάνθρωπε.

***ὁ α' χορός,* Δόξα Πατρὶ…** ***Κατεπλάγη Ἰωσήφ,*** **Ἐ**κ τῶν ἄνω κατελθών, τῶν ὑψωμάτων Γαβριήλ, καὶ τῇ πέτρᾳ προσελθών, ἔνθα ἡ πέτρα τῆς ζωῆς, λευχειμονῶν ἀνεκραύγαζε ταῖς κλαιούσαις΄ Παύσασθε ὑμεῖς, τῆς θρηνώδους κραυγῆς, ἔχουσαι ἀεί, τὸ εὐσυμπάθητον, ὃν γὰρ ζητεῖτε κλαίουσαι, θαρσεῖτε, ὡς ἀληθῶς ἐξεγήγερται, διὸ βοᾶτε, τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος.

***ὁ β' χορός,* Καὶ νῦν…** **Κ**ατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ Μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν, πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ Προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν ὁ τρέφων, πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

***Εἶτα, τὸ ἐκ τοῦ Μηναίου Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.***

Τὸ σεπτὸν στερέωμα, τῆς Ἐκκλησίας, ὡς ἀστέρες μέγιστοι, καταλαμπρύνετε ἀεί, καὶ τοὺς Πιστοὺς καταυγάζετε, Μάρτυρες θεῖοι, Χριστοῦ Τεσσαράκοντα.

Δόξα… ***Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*** Τῶν Ἁγίων Μαρτύρων τὸ ἐγκαλλώπισμα, ἡ θεόστεπτος αὕτη καὶ θεοσύλλεκτος, τῶν Τεσσαράκοντα πληθύς, ἀνευφημήσθωσαν νῦν· διὰ κρυμοῦ γὰρ καὶ πυρός, δοκιμασθέντες οἱ σοφοί, ἐδείχθησαν στρατιῶται, Χριστοῦ τοῦ παμβασιλέως, καὶ πρεσβεύουσι τοῦ σωθῆναι ἡμᾶς.

Καὶ νῦν… ***Θεοτοκίον.*** Τὴν ταχεῖάν σου σκέπην, καὶ τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τὸν δοῦλόν σου· καὶ τὰ κύματα Ἁγνὴ καταπραῦνον, τῶν ματαίων λογισμῶν καὶ τὴν πεσοῦσάν μου ψυχήν, ἀνάστησον Θεοτόκε· οἶδα γὰρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καὶ βούλοιο.

[Μετὰ τὸν Ἄμωμον, τὰ Εὐλογητάρια] [ΚΑΘΙΣΜΑΤΑ (ΠΟΛΥΕΛΕΟΣ)]. **Τὰ ἀναστάσιμα Εὐλογητάρια.** ***ὁ α' χορός, Ἦχος πλ. α' ,***

**Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**Τ**ῶν Ἀγγέλων ὁ δῆμος, κατεπλάγη ὁρῶν σε, ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ Σωτήρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ Ἅιδου πάντας ἐλευθερώσαντα.

***ὁ β' χορός,*** **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μύρα, συμπαθῶς τοῖς δάκρυσιν, ὦ Μαθήτριαι κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος, προσεφθέγγετο ταῖς Μυροφόροις, Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ᾔσθητε, ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

***ὁ α' χορός,*** **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**Λ**ίαν πρωΐ, Μυροφόροι ἔδραμον, πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι, ἀλλ' ἐπέστη, πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε, θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν Ἀνάστασιν δέ, Ἀποστόλοις εἴπατε.

***ὁ β' χορός,*** **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**Μ**υροφόροι γυναῖκες, μετὰ μύρων ἐλθοῦσαι, πρὸς τὸ μνῆμά σου, Σῶτερ ἐνηχοῦντο. Ἀγγέλου τρανῶς, πρὸς αὐτὰς φθεγγομένου΄ Τί μετὰ νεκρῶν, τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γάρ, ἐξανέστη τοῦ μνήματος.

***ὁ α' χορός,* Δόξα Πατρί…** ***Τριαδικὸν,*** **Π**ροσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα, ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφείμ, κράζοντες τό, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

***ὁ β' χορός,* Καὶ νῦν…** ***Θεοτοκίον,*** **Ζ**ωοδότην τεκοῦσα, ἐλυτρώσω Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ, ἀντὶ λύπης παρέσχες, ῥεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

***ὁ α' χορός,*** **Ἀ**λληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός.

***ὁ β' χορός,*** **Ἀ**λληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός.

***ὁ α' χορός,*** **Ἀ**λληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. **Δόξα σοι ὁ Θεός.**

***Συναπτὴ μικρὰ μεθ' ἣν Ἐκφώνησις,'Ὅτι ηὐλόγηται…Ἡ Ὑπακοὴ Ἦχος δ',*** **Τ**ὰ τῆς σῆς παραδόξου Ἐγέρσεως, προδραμοῦσαι αἱ Μυροφόροι, τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστέ, ὅτι ἀνέστης ὡς Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***ΑΝΑΒΑΘΜΟΙ , Ἀντίφωνον Α', ὁ α' χορός***

**Ἐ**κ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτὴρ μου. ***ὁ β' χορός,*** **Ο**ἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι. ***ὁ α' χορός,* Δόξα Πατρὶ… Καὶ νῦν…**Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως. ***Ἀντίφωνον Β', ὁ β' χορός***

**Ἐ**κέκραξά σοι Κύριε, θερμῶς ἐκ βάθους ψυχῆς μου, κἀμοὶ γενέσθω, πρὸς ὑπακοὴν τὰ θεϊά σου ὦτα.

***ὁ α' χορός,*** **Ἐ**πὶ τὸν Κύριον ἐλπίδα πᾶς τις κεκτημένος, ὑψηλότερος ἐστί, πάντων τῶν λυπούντων.

***ὁ β' χορός,* Δόξα Πατρὶ… Καὶ νῦν…**Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

***Ἀντίφωνον Γ', ὁ α' χορός***

**Ἡ** καρδία μου πρὸς σὲ Λόγε ὑψωθήτω, καὶ οὐδὲν θέλξει με, τῶν τοῦ κόσμου τερπνῶν πρὸς χαμαιζηλίαν.

***ὁ β' χορός,*** **Ἐ**πὶ τὴν μητέρα αὐτοῦ, ὡς ἔχει τις στοργήν, ἐπὶ τῷ Κυρίῳ θερμότερον φίλτρον χρεωστοῦμεν. ***ὁ α' χορός,* Δόξα Πατρὶ… Καὶ νῦν…**Ἁγίῳ Πνεύματι, θεογνωσίας πλοῦτος, θεωρίας καὶ σοφίας, πάντα γὰρ ἐν τούτῳ τὰ πατρῷα δόγματα,… ***ὁ β' χορός…ὁ*** Λόγος ἐκκαλύπτει.

***Προκείμενον, ὁ α' χορός***

**Ἀ**νάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. ***ὁ β' χορός,*** **Ἀ**νάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου.***ὁ α' χορός, Στίχ.*** **Ὁ** Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν. **Ἀ**νάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς,…***ὁ β' χορός…*** **ἕ**νεκεν τῆς δόξης τοῦ ὀνόματός σου.

***Ἡ Τάξις τοῦ Εὐαγγελίου,*** Τοῦ Κυρίου δεηθῶμεν. ***Χ.*** Κύριε, ἐλέησον. Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, …***Χ.*** Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον *(ἐκ γ')*. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς …***Χ.*** Κύριε, ἐλέησον (γ'). Σοφία. Ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου. Εἰρήνη πᾶσι. ***Χ.*** Καὶ τῷ Πνεύματί σου. Ἐκ τοῦ κατὰ (τοῦ δεῖνος) ἁγίου Εὐαγγελίου… Πρόσχωμεν. ***Χ.* Δόξα σοι, Κύριε, δόξα σοι.** ΕΩΘΙΝΟΝ Δ΄ …***Χ.* Δόξα σοι, Κύριε, δόξα σοι.** Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον, Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν. Ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ, χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ· Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς, θανάτῳ θάνατον ὤλεσεν.

***Ψαλμὸς 50***

***Ἐλέημον,*** Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·

ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.

ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη ῾Ιερουσαλήμ·

τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους. ***Ἐν Κυριακῇ προστίθεται εἰς τὸν τελευταῖον στίχον τὸ ἐφύμνιον·*** Καὶ ἐλέησόν με, ὁ Θεός.

***ὁ α' χορός,*** Δόξα Πατρί… ***Ἦχος πλ. δ' ,*** Τῆς μετανοίας ἄνοιξόν μοι πύλας Ζωοδότα· ὀρθρίζει γὰρ τὸ πνεῦμά μου, πρὸς ναὸν τὸν ἅγιόν σου, ναὸν φέρον τοῦ σώματος, ὅλον ἐσπιλωμένον· ἀλλ' ὡς οἰκτίρμων κάθαρον, εὐσπλάγχνῳ σου ἐλέει.

***ὁ β' χορός,*** Καὶ νῦν … ***Θεοτοκίον. Ἦχος ὁ αὐτός.***

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους, Θεοτόκε· αἰσχραῖς γὰρ κατερρύπωσα, τὴν ψυχὴν ἁμαρτίαις, ὡς ῥαθύμως τὸν βίον μου, ὅλον ἐκδαπανήσας· ταῖς σαῖς πρεσβείαις ῥῦσαί με, πάσης ἀκαθαρσίας.

***ὁ α' χορός, Ἦχος πλ. β' , Στίχ.*** Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν, ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως· ἀλλὰ θαρρῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὡς ὁ Δαυῒδ βοῶ σοι· Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα σου ἔλεος.

***Σῶσον ὁ Θεὸς τὸν λαόν σου… (ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ ΙΒ΄). Ἐλέει καὶ οἰκτιρμοῖς…ΚΑΝΟΝΕΣ , <u>ὁ Ἀναστάσιμος εἰς δ΄,</u> ὁ α' χορός, ᾠδὴ α'. Ἦχος δ'. Ὁ Εἱρμὸς***

**Θ**αλάσσης, τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

**ὁ β' χορός, *Στίχ.*** **Δ**όξα τῇ Ἁγίᾳ Ἀναστάσει σου, Κύριε.

**Ὑ**ψώθης, τὴν ἡμετέραν ἔκπτωσιν, ἐπανορθούμενος, ἐν τῷ ἀχράντῳ ξύλῳ τοῦ Σταυροῦ, τὴν ἐν ξύλῳ ἰώμενος, πανωλεθρίαν Δέσποτα, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

***ὁ α' χορός, Στίχ.*** **Δ**όξα τῇ Ἁγίᾳ Ἀναστάσει σου, Κύριε. **Ἐ**ν τάφῳ, σωματικῶς, ἐν ᾅδῃ δὲ μετὰ ψυχῆς ὡς Θεός, ἐν Παραδείσῳ δὲ μετὰ λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

***ὁ β' χορός, Στίχ.*** **Ὑ**περαγία Θεοτόκε, σῶσον ἡμᾶς. **Ἀ**σπόρως, τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

***Ὁ τοῦ Τριῳδίου, εἰς στ΄, οὗ ἡ ἀκροστιχίς· Σήμερον εὐσεβείης θεοφεγγέος ἤλυθεν αἴγλη. Ποίημα τοῦ κυρίου Θεοφάνους. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος. Στίχ.***

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Σκιρτῶντες** μετ΄ εὐφροσύνης σήμερον, πιστοὶ βοήσωμεν· Ὡς θαυμαστὰ τὰ ἔργα σου Χριστέ, καὶ μεγάλη ἡ δύναμις, ὁ τὴν ἡμῶν ὁμόνοιαν, καὶ συμφωνίαν ἐργασάμενος! **(*δίς*)**

***Στίχ.*** Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Ἡμέραν** χαρμονικὴν θεόφρονες, δεῦτε τελέσωμεν· νῦν Οὐρανὸς εὐφραίνεται καὶ γῆ, καὶ Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν συστήματα, διαφερόντως ἑορτάζοντα.

***Στίχ.*** Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Μεγίστην** εὐεργεσίαν βλέποντες, χεῖρας κροτήσωμεν, τὰ διεστῶτα μέλη τοῦ Χριστοῦ, συνηγμένα πρὸς ἕνωσιν· καὶ τὸν Θεὸν αἰνέσωμεν, τὸν εἰρήνην πρυτανεύσαντα.

***Στίχ.*** Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι. **Ἐδόθη** τῇ Ἐκκλησίᾳ σήμερον, τὰ νικητήρια, θεοκινήτῳ νεύσει καὶ βουλῇ, Μιχαὴλ Θεοδώρας τε, τῶν εὐσεβῶς τῆς Πίστεως, ἀντεχομένων Βασιλέων ἡμῶν.

***Θεοτοκίον. Στίχ.*** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. ***Ῥομφαῖαι*** τῶν δυσσεβῶν ἐξέλιπον, σαφῶς αἱρέσεων· τὸν γὰρ Ναόν σου Πάναγνε σεμνή, ἐν Εἰκόσι κοσμούμενον, πανευσεβῶς θεώμενοι, νῦν πανιέρως ἀγαλλόμεθα.

***Ὁ Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς· Ἄνευ τῶν Εἱρμῶν, καὶ τῶν Θεοτοκίων. Θεοστεφῆ φάλαγγα μέλπω Μαρτύρων. Ποίημα Ἰωάννου Μοναχοῦ. Ἦχος β΄. Δεῦτε λαοί. Στίχ.***

Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν. **Θεοστεφῆ**, φάλαγγα μέλπω Μαρτύρων Χριστοῦ, ἐν θεοπνεύστοις ᾄσμασι, τῶν Τεσσαράκοντα, τὴν ἐτήσιον μνήμην, φαιδρῶς πανηγυρίζων· ὅτι δεδόξασται.

***Στίχ***. Ἅγιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν. **Ἐπὶ τῆς γῆς**, ἅπασαν ἀπαρνησάμενοι, προσηγορίαν εἵλοντο, οἱ Τεσσαράκοντα, τὴν Χριστώνυμον κλῆσιν, δι᾽ ἧς ἐν τοῖς ὑψίστοις, νῦν πολιτεύονται.

Δόξα…**Οἱ ἐν Χριστῷ,** σάρκα καὶ κόσμον μισήσαντες, τὸν παλαιὸν μὲν ἄνθρωπον, συνεξεδύσασθε, τῇ προσκαίρῳ ἐσθῆτι, στολὴν δὲ ἀφθαρσίας περιεβάλεσθε.

Καὶ νῦν… ***Θεοτοκίον***. Τίς ἐξειπεῖν, σοῦ κατ᾽ ἀξίαν δυνήσεται, τὴν ὑπὲρ λόγον σύλληψιν; Θεὸν γὰρ τέτοκας, ἐν σαρκὶ Παναγία, ἡμῖν ἐπιφανέντα, Σωτῆρα πάντων ἡμῶν.

***Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις· Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν…Ἀναστάσιμον Κοντάκιον Ἦχος δ' . Ἐπεφάνης σήμερον***

**Ὁ** Σωτὴρ καὶ ῥύστης μου, ἀπὸ τοῦ τάφου, ὡς Θεὸς ἀνέστησεν, ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας Ἅιδου συνέτριψε, **καὶ ὡς Δεσπότης ἀνέστη τριήμερος.**

***Ὁ Οἶκος,*** **Τ**ὸν ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν ζωοδότην, τριήμερον ἐκ τάφου, καὶ πύλας τοῦ θανάτου σήμερον συνθλάσαντα, τῇ δυνάμει τῇ αὐτοῦ, τὸν ᾅδην τε νεκρώσαντα, καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐλευθερώσαντα, ὑμνήσωμεν πάντες οἱ γηγενεῖς, εὐχαρίστως βοῶντες αἶνον ἐκτενῶς· Αὐτὸς γὰρ ὡς μόνος κραταιὸς Θεός, **καὶ Δεσπότης ἀνέστη τριήμερος.**

***Καθίσματα τοῦ Τριῳδίου.Κάθισμα. Ἦχος α΄. Χορὸς Ἀγγελικός.***

Τὴν θείαν σου μορφήν, ἐν Εἰκόνι τυποῦντες, τὴν Γέννησιν Χριστέ, ἀριδήλως βοῶμεν, τὰ θαύματα τὰ ἄρρητα, τὴν ἑκούσιον Σταύρωσιν· ὅθεν δαίμονες, ἀποδιώκονται φόβῳ, καὶ κακόδοξοι, ἐν κατηφείᾳ θρηνοῦσιν, ὡς τούτων συμμέτοχοι.

Δόξα… ***Τῶν Μαρτύρων. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.*** Τῷ Χριστῷ στρατευθέντες μαρτυρικῶς, τὸν ἐχθρὸν καθελόντες ἀθλητικῶς, ἔργοις ἐπληρώσατε, τοῦ Προφήτου τὰ ῥήματα· διὰ πυρὸς γὰρ καὶ ὕδατος, γενναίως διήλθατε, ἀναψυχὴν εὑράμενοι, ζωὴν τὴν αἰώνιον· ὅθεν καὶ στεφάνους, οὐρανόθεν λαβόντες, χοροῖς συνευφραίνεσθε, Ἀσωμάτων μακάριοι. Ἀθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων, ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν… ***Θεοτοκίον***. Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, τὴν ἐξέτασιν τρέμω τὴν φοβεράν, φρίττω τὴν ἀπόφασιν, καὶ πτοοῦμαι τὴν κόλασιν, τὴν τοῦ πυρὸς ὀδύνην, τὸ σκότος τὸν τάρταρον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸν ἄϋπνον σκώληκα. Οἴμοι! τί ποιήσω, ὅταν τίθωνται θρόνοι, καὶ βίβλοι ἀνοίγωνται, καὶ αἱ πράξεις ἐλέγχωνται, καὶ κρυπτὰ δημοσιεύωνται; Τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀχρεῖος οἰκέτης σου.

***Συναπτὴ μικρά, μεθ᾽ ἣν ἐκφώνησις· Σὺ γὰρ εἶ ὁ βασιλεὺς τῆς εἰρήνης…Κοντάκιον. Ἦχος πλ. δ΄. Αὐτόμελον.***

Ὁ ἀπερίγραπτος Λόγος τοῦ Πατρός, ἐκ σοῦ Θεοτόκε περιεγράφη σαρκούμενος, καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα εἰς τὸ ἀρχαῖον ἀναμορφώσας, τῷ θείῳ κάλλει συγκατέμιξεν. Ἀλλ᾽ ὁμολογοῦντες τὴν σωτηρίαν, ἔργῳ καὶ λόγῳ ταύτην ἀνιστοροῦμεν.

***Ὁ Οἶκος.,*** Τοῦτο τὸ τῆς Οἰκονομίας μυστήριον, πάλαι Προφῆται θειωδῶς ἐμπνευσθέντες, δι᾽ ἡμᾶς, τοὺς εἰς τὰ τέλη τῶν αἰώνων κατantήσαντας, προκατήγγειλαν, τῆς τούτου τυχόντες ἐλλάμψεως. Γνῶσιν οὖν θεῖαν δι᾽ αὐτοῦ λαβόντες, ἕνα Κύριον τὸν Θεὸν γινώσκομεν, ἐν τρισὶν ὑποστάσεσι δοξαζόμενον, καὶ αὐτῷ μόνῳ λατρεύοντες, μίαν Πίστιν, ἓν Βάπτισμα ἔχοντες, Χριστὸν ἐνεδυσάμεθα. Ἀλλ᾽ ὁμολογοῦντες τὴν σωτηρίαν, ἔργῳ καὶ λόγῳ, ταύτην ἀνιστοροῦμεν.

***Συναξάριον***. Τῇ Θ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῶν Ἁγίων μεγάλων Τεσσαράκοντα Μαρτύρων, τῶν ἐν Σεβαστείᾳ τῇ πόλει μαρτυρησάντων. **Στίχ**. Πληροῦμεν ὑστέρημα σοῦ Σῶτερ πάθους, Τεσσαράκοντα, συντριβέντες τὰ σκέλη. Ἀμφ᾽ ἐνάτῃ ἐάγη σκέλη ἀνδρῶν τεσσαράκοντα.

***Καὶ τοῦ Τριῳδίου.*** Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πρώτῃ τῶν Νηστειῶν, ἀνάμνησιν ποιούμεθα τῆς ἀναστηλώσεως τῶν ἁγίων καὶ σεπτῶν Εἰκόνων, γενομένης παρὰ τῶν ἀειμνήστων Αὐτοκρατόρων Κωνσταντινουπόλεως, Μιχαὴλ καὶ τῆς μητρὸς αὐτοῦ Θεοδώρας, ἐπὶ τῆς Πατριαρχείας τοῦ ἁγίου καὶ ὁμολογητοῦ Μεθοδίου.

***Στίχ***. Τὰς οὐ πρεπόντως ἐξορίστους Εἰκόνας, Χαίρω, πρεπόντως προσκυνουμένας βλέπων.

***ΚΑΤΑΒΑΣΙΑΙ, Τῆς Α΄ Κυριακῆς τῶν νηστειῶν, (Τῆς Ὀρθοδοξίας), Ὠιδὴ α΄. Ἦχος δ΄.***

Θαλάσσης * τὸ ἐρυθραῖον πέλαγος * ἀβρόχοις ἴχνεσιν * ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, * σταυροτύποις Μωσέως χερσὶ * τοῦ Ἀμαλὴκ τὴν δύναμιν * ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

***Ὠιδὴ γ΄.,*** Εὐφραίνεται ἐπὶ σοὶ * ἡ Ἐκκλησία σου, Χριστέ, κράζουσα· * Σύ μου ἰσχύς, Κύριε, * καὶ καταφυγὴ καὶ στερέωμα.

***Ὠιδὴ δ΄.*** Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία * ἐπὶ Σταυροῦ τὸν ἥλιον * τῆς δικαιοσύνης, * ἔστη ἐν τῇ τάξει αὐτῆς, * εἰκότως κραυγάζουσα· * Δόξα τῇ δυνάμει σου, Κύριε.

***Ὠιδὴ ε΄.*** Σύ, Κύριέ μου, φῶς * εἰς τὸν κόσμον ἐλήλυθας· * φῶς ἅγιον, ἐπιστρέφον * ἐκ ζοφώδους ἀγνοίας * τοὺς πίστει ἀνυμνοῦντάς σε.

***Ὠιδὴ ϛ΄.,*** Θύσω σοι * μετὰ φωνῆς αἰνέσεως, Κύριε, * ἡ Ἐκκλησία βοᾷ σοι, * ἐκ δαιμόνων λύθρου κεκαθαρμένη * τῷ δι᾽ οἶκτον * ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι.

***Ὠιδὴ ζ΄.*** Ἐν τῇ καμίνῳ * Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ, * πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλογὶ * πυρπολούμενοι, ἐκραύγαζον· * Εὐλογημένος εἶ * ἐν τῷ ναῷ τῆς δόξης σου, Κύριε.

***Ὠιδὴ η΄.*** Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον, * ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Χεῖρας ἐκπετάσας Δανιήλ, * λεόντων χάσματα * ἐν λάκκῳ ἔφραξε· * πυρὸς δὲ δύναμιν ἔσβεσαν * ἀρετὴν περιζωσάμενοι * οἱ εὐσεβείας ἐρασταί * παῖδες, κραυγάζοντες· * Εὐλογεῖτε, * πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

***Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς…*** *ΤΙΜΙΩΤΕΡΑ (Ἦχος δ'), ὁ α' χορὸς*

**Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.**

**Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.**

*ὁ β' χορός,* **Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Τὴν Τιμιωτέραν…**

*ὁ α' χορός,* **Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν. Τὴν Τιμιωτέραν…**

*ὁ β' χορός,* **Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. Τὴν Τιμιωτέραν…**

*ὁ α' χορός,* **Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς. Τὴν Τιμιωτέραν…**

*ὁ β' χορός,* **Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. Τὴν Τιμιωτέραν…**

***Καταβασία, Ὠιδὴ θ΄.*** Λίθος ἀχειρότμητος ὄρους * ἐξ ἀλαξεύτου σου, Παρθένε, * ἀκρογωνιαῖος ἐτμήθη * Χριστός, συνάψας * τὰς διεστώσας φύσεις. * Διὸ ἐπαγαλλόμενοι * σέ, Θεοτόκε μεγαλύνομεν.

***Συναπτὴ μικρὰ καὶ ἡ Ἐκφώνησις, Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις… Ἐξαποστειλάρια,Ἦχος β',ὁ α' χορός***

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. ***ὁ β' χορός,*** Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. ***ὁ α' χορός,*** Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ. ***ὁ β' χορός,*** Ὅτι ἅγιός ἐστι. ***Ἐξαποστειλάριον Ἀναστάσιμον Δ΄.*** Ταῖς ἀρεταῖς ἀστράψαντες, ἴδωμεν ἐπιστάντας, ἐν ζωηφόρῳ μνήματι, ἄνδρας ἐν ἀστραπτούσαις, ἐσθήσεσι Μυροφόρους, κλινούσαις εἰς γῆν ὄψιν· τοῦ οὐρανοῦ δεσπόζοντος, ἔγερσιν διδαχθῶμεν, καὶ πρὸς ζωήν, ἐν μνημείῳ δράμωμεν σὺν τῷ Πέτρῳ, καὶ τὸ πραχθὲν θαυμάσαντες, μείνωμεν Χριστὸν βλέψαι.

***Εἶτα τὰ παρόντα τοῦ Τριῳδίου. Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.*** Σκιρτήσατε, κροτήσατε, μετ᾽ εὐφροσύνης ᾄσατε· Ὡς θαυμαστά σου καὶ ξένα, Χριστὲ βοῶντες τὰ ἔργα! καὶ τίς ἰσχύσει ἐξειπεῖν, Σῶτερ τὰς δυναστείας σου, τοῦ τὴν ἡμῶν ὁμόνοιαν, καὶ συμφωνίαν εἰς μίαν, ἑνώσαντος Ἐκκλησίαν;

***Τῶν Μαρτύρων. Γυναῖκες ἀκουτίσθητε.*** Χορὸς τετραδεκάριθμος, Μαρτύρων Τεσσαράκοντα, τῆς ὑπερθέου Τριάδος, τῶν ἀρετῶν τετρακτύϊ, πυρὸς ἀέρος ὕδατος, καὶ γῆς στοιχείων τετράδος, ᾄσμασι θείοις ὑμνείσθω, ὑπὲρ Χριστοῦ ὡς ἀθλήσας, τοῦ τῶν ἁπάντων Δεσπότου.

***Θεοτοκίον.,*** Χαῖρε κατάρας λύτρωσις, καὶ τοῦ Ἀδὰμ ἀνάκλησις· χαῖρε Ἁγνὴ Θεοτόκε, ἐλπὶς καὶ σκέπη τοῦ κόσμου· χαῖρε σεμνὴ μητρόθεε· χαῖρε τὸ θεῖον ὄχημα· χαῖρε ἡ κλίμαξ καὶ πύλη· χαῖρε κούφη νεφέλη· χαῖρε τῆς Εὔας ἡ λύσις.

***ΑΙΝΟΙ , ὁ α' χορός, Ἦχος δ'.***

**Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

***ὁ β' χορός,*** **Α**ἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

***ὁ α' χορός, Στίχ.*** **Τ**οῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον. Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

**Ὁ** Σταυρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν Ἀνάστασιν.

***ὁ β' χορός, Στίχ.*** **Α**ἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

**Ἐ**ν τῷ Σταυρῷ σου Χριστέ, τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας ἡμᾶς, καὶ ἐν τῷ θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας΄ ἐν δὲ τῇ Ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας΄ διὸ βοῶμέν σοι΄ Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

***Τοῦ Τριῳδίου Προσόμοια γ΄. Ἦχος δ΄. Ἔδωκας σημείωσιν. Στίχ. γ΄.***

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Ἐν σοὶ νῦν ἀγάλλεται, ἡ Ἐκκλησία φιλάνθρωπε, τῷ Νυμφίῳ καὶ Κτίστῃ αὐτῆς τῷ ταύτην θελήματι, θεοπρεπεστάτῳ, ἐξ εἰδώλων πλάνης, λυτρωσαμένῳ καὶ σαυτῷ, ἁρμοσαμένῳ τιμίῳ Αἵματι, φαιδρῶς ἀπολαμβάνουσα, τὴν ἱερὰν ἀναστήλωσιν, τῶν Εἰκόνων, καὶ χαίρουσα, σὲ ὑμνεῖ καὶ δοξάζει πιστῶς.

***Στίχ. δ΄.*** Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Σαρκὸς τὸ ἐκτύπωμα, ἀναστηλοῦντές σου Κύριε, σχετικῶς ἀσπαζόμεθα, τὸ μέγα μυστήριον, τῆς Οἰκονομίας, τῆς σῆς ἐκδηλοῦντες· οὐ γὰρ δοκήσει, ὥς φασιν, οἱ θεομάχοι παῖδες τοῦ Μάνεντος, ἡμῖν ὤφθης Φιλάνθρωπε, ἀλλ᾽ ἀληθείᾳ καὶ φύσει σαρκός, δι᾽ αὐτοῦ ἀναγόμενοι, πρὸς σὸν πόθον καὶ ἔρωτα.

***Στίχ. ε΄.*** Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Ἡμέρα χαρμόσυνος, καὶ εὐφροσύνης ἀνάπλεως, πεφανέρωται σήμερον· φαιδρότης δογμάτων γάρ, τῶν ἀληθεστάτων, ἀστράπτει καὶ λάμπει, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, κεκοσμημένη ἀναστηλώσεσιν, Εἰκόνων τῶν ἁγίων νῦν, ἐκτυπωμάτων καὶ λάμψεσι· καὶ ὁμόνοια γίνεται, τῶν πιστῶν θεοβράβευτος.

***Καὶ τῶν Μαρτύρων Προσόμοια γ΄. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν. Στίχ. ϛ΄.*** Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. **Δεῦτε** μαρτυρικὴν Ἀδελφοί, μετ᾽ ἐγκωμίων ἀνυμνήσωμεν φάλαγγα, τῷ κρύει πυρποληθεῖσαν, καὶ τὸν τῆς πλάνης κρυμόν, διαπύρῳ ζήλῳ πυρπολήσασαν· στρατὸν γενναιότατον, ἱερώτατον σύνταγμα, συνασπισμόν τε, ἀρραγῆ καὶ ἀνίκητον· τοὺς τῆς πίστεως, περιβόλους καὶ φύλακας· Μάρτυρας Τεσσαράκοντα, χορείαν τὴν ἔνθεον· τῆς Ἐκκλησίας τοὺς πρέσβεις, τοὺς δυνατῶς ἱκετεύοντας, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, καὶ μέγα ἔλεος.

***Στίχ. ζ΄.*** Ἐδοκίμασας ἡμᾶς, ὁ Θεός, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον. **Χαίροις** συναγωγὴ κραταιά, καὶ ἱερὰ καὶ τροπαιοῦχος παράταξις· οἱ πύργοι τῆς εὐσεβείας, οἱ στρατιῶται Χριστοῦ, οἱ στεῤῥοὶ ὁπλῖται καὶ ἀήττητοι, τὸν νοῦν εὐτονώτατοι, καὶ ψυχὴν ἀνδρειότατοι, τῷ ὄντι θεῖοι, καὶ Θεῷ ποθεινότατοι· χορὸς Ἅγιος, καὶ Θεόλεκτον σύστημα· Μάρτυρες Τεσσαράκοντα, οἱ ἶσοι τὴν ἄθλησιν, ἶσοι τὴν γνώμην καὶ ἴσους, καὶ τοὺς στεφάνους δεξάμενοι, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

***Στίχ. η΄.*** Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. **Χαίροις** τροπαιοφόρος πληθύς, ἡ ἐν πολέμοις ἀνδρικῶς ἀριστεύσασα· ἀστέρες οἱ διελθόντες, διὰ πυρὸς καὶ κρυμοῦ, καὶ ὑδάτων πῆξιν διαλύσαντες· οἱ γῆν οὐρανώσαντες, καὶ τὰ πάντα φωτίσαντες· οἱ ἐν τοῖς κόλποις, Ἀβραὰμ νῦν θαλπόμενοι, οἱ χορεύοντες, σὺν Ἀγγέλων στρατεύμασι· Μάρτυρες Τεσσαράκοντα, τὰ ἄνθη τὰ πνέοντα, τὴν εὐωδίαν τῆς ὄντως, πνευματικῆς διαδόσεως, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα… ***Τοῦ Τριῳδίου. Ἦχος πλ. β΄.*** Μωσῆς τῷ καιρῷ τῆς ἐγκρατείας, Νόμον ἐδέξατο, καὶ λαὸν ἐπεσπάσατο. Ἠλίας νηστεύσας, Οὐρανοὺς ἀπέκλεισε· τρεῖς δὲ Παῖδες Ἀβραμιαῖοι, τύραννον παρανομοῦντα, διὰ νηστείας ἐνίκησαν. Δι᾽ αὐτῆς καὶ ἡμᾶς Σωτὴρ ἀξίωσον, τῆς Ἀναστάσεως τυχεῖν, οὕτω βοῶντας· Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

***ὁ β' χορός,*** Καὶ νῦν… ***ἦχος β' (πάντοτε)***

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε, διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ Ἅιδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν, διὸ ἀνυμνοῦντες βοῶμεν. Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

***ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ***

Δόξα σοι τῷ δείξαντι τὸ φῶς, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα,

Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου (γ').

Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ,

Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (γ'). Δόξα… Καὶ νῦν… Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

***τὸ παρὸν Ἀναστάσιμον Τροπάριον, Ἦχος β΄. ,*** **Σ**ήμερον σωτηρία τῷ κόσμῳ γέγονεν, ᾄσωμεν τῷ ἀναστάντι ἐκ τάφου καὶ ἀρχηγῷ τῆς ζωῆς ἡμῶν· καθελὼν γὰρ τῷ θανάτῳ τὸν θάνατον, τὸ νῖκος ἔδωκεν ἡμῖν**, καὶ τὸ μέγα ἔλεος.** (ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ)**π. Γ. Θ. https://www.youtube.com/user/KERMENI** *(βλέπε στις πληροφορίες: τα αρχεια μου -για δωρεάν κατέβασμα-, μπλογκ, φέισμπουκ).*